σκεύη τῆς καυχήσεώς σου. [27]καὶ ἀποστρέψω τὰς ἀσεβείας σου ἐκ 27
σοῦ καὶ τὴν πορνείαν σου ἐκ γῆς Αἰγύπτου, καὶ οὐ μὴ ἄρῃς τοὺς
ὀφθαλμούς σου ἐπ᾽ αὐτοὺς καὶ Αἰγύπτου οὐ μὴ μνησθῇς οὐκέτι.
[28]διότι τάδε λέγει κύριος κύριος Ἰδοὺ ἐγὼ παραδίδωμί σε εἰς χεῖ- 28
ρας ὧν μισεῖς, ἀφ᾽ ὧν ἀπέστη ἡ ψυχή σου ἀπ᾽ αὐτῶν· [29]καὶ ποι- 29
ήσουσιν ἐν σοὶ ἐν μίσει καὶ λήμψονται πάντας τοὺς πόνους σου
καὶ τοὺς μόχθους σου, καὶ ἔσῃ γυμνὴ καὶ ἀσχημονοῦσα, καὶ ἀπο-
καλυφθήσεται αἰσχύνη πορνείας σου καὶ ἀσέβειά σου. καὶ ἡ πορ-
νεία σου [30]ἐποίησεν ταῦτά σοι ἐν τῷ ἐκπορνεῦσαί σε ὀπίσω ἐθνῶν 30
καὶ ἐμιαίνου ἐν τοῖς ἐνθυμήμασιν αὐτῶν. [31]ἐν τῇ ὁδῷ τῆς ἀδελφῆς 31
σου ἐπορεύθης, καὶ δώσω τὸ ποτήριον αὐτῆς εἰς χεῖράς σου. [32]τάδε 32
λέγει κύριος Τὸ ποτήριον τῆς ἀδελφῆς σου πίεσαι τὸ βαθὺ καὶ τὸ
πλατὺ τὸ πλεονάζον τοῦ συντελέσαι [33]μέθην καὶ ἐκλύσεως πλη- 33
σθήσῃ· καὶ τὸ ποτήριον ἀφανισμοῦ, ποτήριον ἀδελφῆς σου Σαμα-
ρείας, [34]καὶ πίεσαι αὐτό· καὶ τὰς ἑορτὰς καὶ τὰς νεομηνίας αὐτῆς 34
ἀποστρέψω· διότι ἐγὼ λελάληκα, λέγει κύριος. [35]διὰ τοῦτο τάδε 35
λέγει κύριος Ἀνθ᾽ ὧν ἐπελάθου μου καὶ ἀπέρριψάς με ὀπίσω τοῦ
σώματός σου, καὶ σὺ λαβὲ τὴν ἀσέβειάν σου καὶ τὴν πορνείαν
σου. — [36]καὶ εἶπεν κύριος πρός με Υἱὲ ἀνθρώπου, οὐ κρινεῖς τὴν 36
Οολαν καὶ τὴν Οολιβαν; καὶ ἀπαγγελεῖς αὐταῖς τὰς ἀνομίας αὐτῶν,
[37]ὅτι ἐμοιχῶντο, καὶ αἷμα ἐν χερσὶν αὐτῶν· τὰ ἐνθυμήματα αὐτῶν 37
ἐμοιχῶντο καὶ τὰ τέκνα αὐτῶν, ἃ ἐγέννησάν μοι, διήγαγον αὐτοῖς
δι᾽ ἐμπύρων. [38]ἕως καὶ ταῦτα ἐποίησάν μοι· τὰ ἅγιά μου ἐμίαινον 38
καὶ τὰ σάββατά μου ἐβεβήλουν. [39]καὶ ἐν τῷ σφάζειν αὐτοὺς τὰ 39
τέκνα αὐτῶν τοῖς εἰδώλοις αὐτῶν καὶ εἰσεπορεύοντο εἰς τὰ ἅγιά
μου τοῦ βεβηλοῦν αὐτά· καὶ ὅτι οὕτως ἐποίουν ἐν μέσῳ τοῦ οἴ-
κου μου. [40]καὶ ὅτι τοῖς ἀνδράσιν τοῖς ἐρχομένοις μακρόθεν, οἷς 40
ἀγγέλους ἐξαπεστέλλοσαν πρὸς αὐτούς, καὶ ἅμα τῷ ἔρχεσθαι αὐτοὺς
εὐθὺς ἐλούου καὶ ἐστιβίζου τοὺς ὀφθαλμούς σου καὶ ἐκόσμου κό-
σμῳ [41]καὶ ἐκάθου ἐπὶ κλίνης ἐστρωμένης, καὶ τράπεζα κεκοσμημένη 41

28 κυριος κυριος] + ο θεος A: cf. 22 || 29 ασχημονουσα] αισχυνουσα B† | αισχυνη πορνειας σου] η αισχ. σου πορνεια σου A | ασεβεια] + ς B^c L || 30 ενθυμ.] επιθ. A || 31 χειρας] pr. τας A || 32 κυριος] pr. αδωναι κυριος A: cf. 35. 46 55; + ο θεος A: cf. 146 | πλατυ Bpau.] + εσται εις γελωτα και (εις) μυκτηρισμον rel. (in O sub ※) | το ult.] pr. και B†: idem add. Q ante εσται praec. || 33 εκλυσεως] εκχεω οπως A† | ποτ. αφαν./ποτ. (+ της A) αδ. σου σαμ.] tr. A | σαμαρειας > B*† || 34 και 1⁰ > AB^c† | αυτο Bpau.] + και εκστραγγιεις rel. (in O sub ※) | νεομηνιας Bpau.] νουμ. rel. | ελαλησα A | κυριος] + κυριος ο θεος A: cf. 22 || 35 κυριος Bcompl.] pr. αδωναι rel.: cf. 32 || 36 αναγγελεις B† || 37 τα 1⁰] pr. και A = 𝔐 | διηγον A | αυτοις B†] -τα A, -τοι Q || 38 μοι] + και α εμεισουν εποιησαν A: cf. Rom. 715 || 39 μου 1⁰] + αφυλακτως A: ex 722; dein addunt AQV εν τη ημερα εκεινη (in O sub ※) | οτι] ιδου Vpau. = α′ σ′ θ′ || 40 οτι > A | εξαπεστελλον B